Burton & Goodspeed # 35: The Character and Duties of Disciples

| Matthew 5:1-16 | Luke 6:20-26 |
| --- | --- |
| **Matthew 5:1** | |
| Ἰδὼν δὲ τοὺς ὄχλους | |
| ἀνέβη εἰς τὸ ὄρος, | |
| καὶ καθίσαντος αὐτοῦ | |
| προσῆλθαν αὐτῷ | |
| οἱ μαθηταὶ αὐτοῦ· | **Luke 6:20** |
| **2** καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ | Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ |
| | εἰς τοὺς μαθητὰς αὐτοῦ |
| ἐδίδασκεν αὐτοὺς λέγων, | ἔλεγεν, |
| **3** Μακάριοι οἱ πτωχοὶ | Μακάριοι οἱ πτωχοί, |
| τῷ πνεύματι, | |
| ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία | ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία |
| τῶν οὐρανῶν. | τοῦ θεοῦ. |
| **4** μακάριοι οἱ πενθοῦντες, | |
| ὅτι αὐτοὶ παρακληθήσονται. | |
| **5** μακάριοι οἱ πραεῖς, | |
| ὅτι αὐτοὶ κληρονομήσουσιν | |
| τὴν γῆν. | |
| **6** μακάριοι οἱ πεινῶντες | **21** μακάριοι οἱ πεινῶντες νῦν, |
| καὶ διψῶντες τὴν δικαιοσύνην, | |
| ὅτι αὐτοὶ χορτασθήσονται. | ὅτι χορτασθήσεσθε. |
| | μακάριοι οἱ κλαίοντες νῦν, |

| | |
|---|---|
| | ὅτι γελάσετε. |
| **7** μακάριοι οἱ ἐλεήμονες, | |
| ὅτι αὐτοὶ ἐλεηθήσονται. | |
| **8** μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, | |
| ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. | |
| **9** μακάριοι οἱ εἰρηνοποιοί, | |
| ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. | |
| **10** μακάριοι οἱ δεδιωγμένοι | |
| ἕνεκεν δικαιοσύνης, | |
| ὅτι αὐτῶν ἐστιν | |
| ἡ βασιλεία τῶν οὐρανῶν. | |
| **11** μακάριοί ἐστε ὅταν | |
| | **22** μακάριοί ἐστε ὅταν |
| | μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι |
| | καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς |
| ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν | καὶ ὀνειδίσωσιν |
| καὶ εἴπωσιν πᾶν πονηρὸν καθ’ | καὶ ἐκβάλωσιν τὸ ὄνομα |
| ὑμῶν [ψευδόμενοι] | ὑμῶν ὡς πονηρὸν |
| ἕνεκεν ἐμοῦ. | ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· |
| **12** χαίρετε | **23** χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ |
| καὶ ἀγαλλιᾶσθε, | καὶ σκιρτήσατε, |
| ὅτι ὁ μισθὸς ὑμῶν | ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν |
| πολὺς ἐν τοῖς οὐρανοῖς· | πολὺς ἐν τῷ οὐρανῷ· |
| οὕτως γὰρ | κατὰ τὰ αὐτὰ γὰρ |

| | |
|---|---|
| ἐδίωξαν τοὺς προφήτας<br>τοὺς πρὸ ὑμῶν.<br><br>**13** Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ<br>τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;<br>εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθὲν ἔξω<br>καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.<br>**14** Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ<br>δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους<br>κειμένη·<br>**15** οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν<br>αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ τὴν<br>λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ<br>οἰκίᾳ.<br>**16** οὕτως λαμψάτω τὸ φῶς ὑμῶν<br>ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν<br>ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν | ἐποίουν τοῖς προφήταις<br>οἱ πατέρες αὐτῶν.<br>**24** Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις,<br>ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.<br>**25** οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι νῦν, ὅτι<br>πεινάσετε. οὐαί, οἱ γελῶντες νῦν, ὅτι<br>πενθήσετε καὶ κλαύσετε.<br>**26** οὐαὶ ὅταν ὑμᾶς καλῶς εἴπωσιν πάντες<br>οἱ ἄνθρωποι· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν<br>τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. |

| | |
|---|---|
| πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. | |

Matthew: 232 – 19 = 213 Luke: 137 – 10 = 127 Identical: 46/340 = 13.53%